πολύφιλος· ᾧ δὲ καὶ ἐπιεικεῖς ἄνδρες, χρηστόφιλος. εὐτυχία δέ ἐστιν, ὧν ἡ τύχη ἀγαθῶν αἰτία, ταῦτα γίγνεσθαι καὶ ὑπάρχειν, ἢ πάντα, ἢ τὰ πλεῖστα, ἢ τὰ μέγιστα. αἰτία δέ ἐστιν ἡ τύχη, ἐνίων μὲν, ὧν καὶ αἱ τέχναι· πολλῶν δὲ καὶ ἀτέχνων, οἷον ὅσων ἡ φύσις· ἐνδέχεται δὲ καὶ παρὰ φύσιν εἶναι· ὑγιείας μὲν γὰρ, τέχνη αἰτία· κάλλους δὲ καὶ μεγέθους, φύσις. ὅλως δὲ, τὰ τοιαῦτα τῶν ἀγαθῶν ἐστιν ἀπὸ τύχης, ἐφ᾽ οἷς ἐστιν ὁ φθόνος. ἔστι δὲ καὶ τῶν παρὰ λόγον ἀγαθῶν αἰτία τύχη, οἷον εἰ οἱ ἄλλοι αἰσχροὶ ἀδελφοί, ὁ δὲ καλός. ἢ οἱ ἄλλοι μὴ εἶδον τὸν θησαυρόν, ὁ δὲ εὗρεν. ἢ εἰ τοῦ πλησίον ἔτυχε τὸ βέλος, τούτου δὲ μή. ἢ εἰ μὴ ἦλθε μόνος ἀεὶ φοιτῶν, οἱ δὲ ἅπαξ ἐλθόντες διεφθάρησαν· πάντα γὰρ τὰ τοιαῦτα, εὐτυχήματα δοκεῖ εἶναι. περὶ δὲ ἀρετῆς, ἐπείπερ οἰκειότατος ὁ περὶ τοὺς ἐπαίνους τόπος, ὅταν περὶ ἐπαίνου ποιώμεθα τὸν λόγον, τότε διοριστέον.

## Κεφάλαιον ς.

ὯΝ μὲν οὖν δεῖ στοχάζεσθαι προτρέποντας, ὡς ἐσομένων ἢ ὑπαρχόντων, καὶ ὧν ἀποτρέποντας, φανερόν· τὰ γὰρ ἐναντία τούτων ἐστίν. ἐπεὶ δὲ πρόκειται τῷ συμβουλεύοντι σκοπὸς, τὸ συμφέρον· βουλεύονται δὲ, οὐ περὶ τοῦ τέλους, ἀλλὰ καὶ περὶ τῶν πρὸς τὸ τέλος· ταῦτα δ᾽ ἐστὶ τὰ συμφέροντα κατὰ τὰς πράξεις· τὸ δὲ συμφέρον, ἀγαθόν· ληπτέον ἂν εἴη στοιχεῖα περὶ ἀγαθοῦ καὶ συμφέροντος ἁπλῶς. ἔστω δὴ ἀγαθὸν, ὃ ἂν αὐτὸ ἑαυτοῦ ἕνεκα ᾖ αἱρετόν. καὶ οὗ ἕνεκα ἄλλο αἱρούμεθα· καὶ οὗ ἐφίεται πάντα, ἢ πάντα τὰ αἴσθησιν ἔχοντα ἢ νοῦν, ἢ εἰ λάβοι νοῦν· καὶ ὅσα ὁ νοῦς ἂν ἑκάστῳ ἀποδοίη· καὶ ὅσα ὁ περὶ ἕκαστον νοῦς ἀποδίδωσιν ἑκάστῳ, τοῦτό ἐστιν ἑκάστῳ ἀγαθόν· καὶ οὗ παρόντος, εὖ διάκειται καὶ αὐτάρκως ἔχει· καὶ τὸ αὔταρκες· καὶ τὸ ποιητικὸν, ἢ φυλακτικὸν τῶν τοιούτων· καὶ ᾧ ἀκολουθεῖ τὰ τοιαῦτα· καὶ τὰ κωλυτικὰ τῶν ἐναντίων, καὶ τὰ φθαρτικά. ἀκολουθεῖ δὲ διχῶς· ἢ γὰρ ἅμα, ἢ ὕστερον· οἷον, τῷ μὲν μανθάνειν τὸ ἐπίστασθαι, ὕστερον· τῷ δὲ ὑγιαίνειν τὸ ζῆν, ἅμα. καὶ τὰ ποιητικὰ τριχῶς, τὰ μὲν, ὡς τὸ ὑγιαίνειν, ὑγιείας· τὰ δὲ, ὡς σιτία, ὑγιείας· τὰ δὲ, ὡς τὸ γυμνάζεσθαι, ὅτι ὡς ἐπὶ τὸ πολὺ ποιεῖ ὑγίειαν. τούτων δὲ κειμένων, ἀνάγκη τάς τε λήψεις τῶν ἀγαθῶν ἀγαθὰς εἶναι, καὶ τὰς τῶν κακῶν ἀποβολάς·

A est multorum amicus. Cui verò etiam boni viri, bonorum amicus. Bona fortuna est quorum fortuna bonorum caussa est, ea effici, & adesse vel omnia, vel plurima, vel maxima. Caussa autem est fortuna nonnullorum quidem etiam, quorum artes sunt, multorum verò non artificiosorum, vt quorum natura est, & contingit etiam, vt præter naturam sint. Nam sanitatis quidem ars est caussa: at pulchritudinis, & magnitudinis natura. Omnino talia B ex bonis sunt, à fortuna, in quibus versatur inuidia. Ac præter rationem bonorum caussa est fortuna, vt si alij deformes sunt fratres, hic autem pulcher: aut alij non viderunt thesaurum, hic autem inuenit: aut si eum, qui propè erat, attigit telum, hunc autem non: aut si non venit solus semper frequentans, qui verò semel vene- C runt, perierunt. Omnia enim eiusmodi bonæ fortunæ euentus videntur esse. De virtute, quoniam maximè proprius de laudibus locus est, cùm de laude conficiemus sermonem, tum erit disserendum.

## CAPVT VI.

AC in quæ quidem oportet intueri eos, qui suadent tanquam futura, aut præ- D sentia, & in quæ eos, qui dissuadent, apparet. Contraria enim horum sunt. Quoniam auté propositus est deliberandi scopus id, quod vtile est, & consultant non de fine, sed de iis, quæ sunt ad finem, & hæc sunt vtilia in actionibus, & vtile est bonum, sumenda erunt elementa de bono, ac vtili simpliciter. Iam sit bonum, quod ipsum sui caussa eligendum est. Et cuius causa aliud eligimus. Et quod appe- E tunt omnia, aut omnia sensum habentia, aut mentem, aut si assumerent mentem. Et quæcunque mens vnicuique dictauerit. Et quæcunque de vnoquoque mens dictauerit vnicuique, illud est vnicuique bonum. Et quo præsente benè dispositum est, & se ipso contentum est. Et quod sibi sat est. Et quod idoneum est ad efficienda, & custodienda talia. Et quod consequuntur ta- F lia. Et quæ idonea sunt ad prohibéda contraria, & quæ ad corrumpenda. Consequuntur autem dupliciter: aut enim simul, aut posterius, vt disciplinam quidem scientia posterius: sanitatem verò vita simul. Ac idonea sunt ad efficiendum tripliciter, partim vt sanũ esse sanitatem: partim vt cibaria sanitatem: partim vt exerceri, quod plerunq. efficit sanitatem. His autem positis necesse est, vt & sumptiones bonorũ bonæ sint, & malorũ depulsiones.